τὸ Η τοῦ Κ. ὑπερέχει ἄρα καὶ τὸ Μ τοῦ Ν. τὸ δὲ Θ τοῦ Λ οὐ-
χ ὑπερέχει. καί ἐστι τὰ μὲν Μ, Θ τῶν Α, Ε ἰσάκις πολλα-
πλάσια. τὰ δὲ Ν, Λ τῶν Β, Ζ ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλα-
πλάσια. τὸ ἄρα Α πρὸς τὸ Β μείζονα λόγον ἔχει ἤ-
περ τὸ Ε πρὸς τὸ Ζ. ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον
τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον. τρίτον
δὲ πρὸς τέταρτον μείζονα λόγον ἔχῃ ἢ πέμπτον
πρὸς ἕκτον. καὶ πρῶτον πρὸς δεύτερον μείζονα λό-
γον ἕξει ἢ πέμπτον πρὸς ἕκτον. ὅπερ ἔδει δεῖξαι:-

ιδ Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ
τρίτον πρὸς τέταρτον. τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖ-
ζον ᾖ. καὶ τὸ δεύτερον τοῦ τετάρτου μεῖζον ἔσται. κἂν
ἴσον ἴσον. κἂν ἔλαττον ἔλαττον. πρῶτον γὰρ τὸ
Α πρὸς δεύτερον τὸ Β τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρί-
τον τὸ Γ πρὸς τέταρτον τὸ Δ. μεῖζον δὲ ἔστω τὸ Α τοῦ Γ.
λέγω ὅτι καὶ τὸ Β τοῦ Δ μεῖζόν ἐστιν. ἐπεὶ γὰρ τὸ Α τοῦ
Γ μεῖζόν ἐστιν. ἄλλο δὲ ὃ ἔτυχεν μέγεθος τὸ Β. τὸ Α
ἄρα πρὸς τὸ Β μείζονα λόγον ἔχει. ἤπερ τὸ Γ πρὸς
τὸ Β. ὡς δὲ τὸ Α πρὸς τὸ Β. οὕτως τὸ Γ πρὸς τὸ Δ. καὶ
τὸ Γ ἄρα πρὸς τὸ Δ μείζονα λόγον ἔχει. ἤπερ τὸ Γ
πρὸς τὸ Β. πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει. ἐ-
κεῖνο ἔλασσόν ἐστιν. ἔλασσον ἄρα τὸ Δ τοῦ Β. ὥστε
μεῖζόν ἐστι τὸ Β τοῦ Δ. ὁμοίως δὴ δείξο-
μεν ὅτι κἂν ἴσον ᾖ τὸ Α τῷ Γ. ἴσον ἔσ-
ται καὶ τὸ Β τῷ Δ. κἂν ἔλασσον ᾖ τὸ Α τοῦ Γ.
ἔλασσον ἔσται καὶ τὸ Β τοῦ Δ. ἐὰν ἄρα πρῶ-



[illegible]

τον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς
τέταρτον. τὸ δὲ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ. καὶ τὸ δεύ-
τερον τοῦ τετάρτου μεῖζον ἔσται. κἂν ἴσον. ἴσον. κἂν
ἔλαττον. ἔλαττον. ὅπερ ἔδει δεῖξαι:-

Τὰ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει
λόγον ληφθέντα κατάλληλα. ἔστω γὰρ ἰσάκις πολ-
λαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ. λέγω ὅτι ἐστὶν
ὡς τὸ Γ πρὸς τὸ Ζ. οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ. ἐπεὶ γὰρ ἰ-
σάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ.
ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μεγέθη ἴσα τῷ Γ. τοσαῦτα
καὶ ἐν τῷ ΔΕ ἴσα τῷ Ζ. διῃρήσθω τὸ μὲν ΑΒ εἰς τὰ
τῷ Γ ἴσα τὰ ΑΗ, ΗΘ, ΘΒ. τὸ δὲ ΔΕ εἰς τὰ τῷ Ζ ἴσα
τὰ ΔΚ, ΚΛ, ΛΕ. ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν
ΑΗ, ΗΘ, ΘΒ τῷ πλήθει τῶν ΔΚ, ΚΛ, ΛΕ. καὶ ἐπεὶ ἴσα
ἐστὶ τὰ ΑΗ, ΗΘ, ΘΒ ἀλλήλοις. ἔστι δὲ καὶ τὰ ΔΚ, ΚΛ, ΛΕ
ἴσα ἀλλήλοις. ἔστιν ἄρα ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ. οὕτως
τὸ ΗΘ πρὸς τὸ ΚΛ καὶ τὸ ΘΒ πρὸς τὸ ΛΕ. ἔσται ἄρα καὶ
ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων.
οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ
ἑπόμενα. ἔστιν ἄρα ὡς τὸ ΑΗ πρὸς τὸ ΔΚ.
οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ. ἴσον δὲ τὸ μὲν
ΑΗ τῷ Γ. τὸ δὲ ΔΚ τῷ Ζ. ἔστιν ἄρα ὡς
τὸ Γ πρὸς τὸ Ζ. οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΕ.
τὰ ἄρα μέρη τοῖς ὡσαύτως πολλαπλα-
σίοις τὸν αὐτὸν ἕξει λόγον ληφθέντα
κατάλληλα. ὅπερ ἔδει δεῖξαι

[illegible]

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo